8 καὶ ἐδαπάνων αὐτὰ ἐν Ιεροσολύμοις καθ᾽ ἕκαστον ἐνιαυτόν. [8]καὶ τὴν BA
τρίτην ἐδίδουν οἷς καθήκει, καθὼς ἐνετείλατο Δεββωρα ἡ μήτηρ τοῦ
9 πατρός μου, διότι ὀρφανὸς κατελείφθην ὑπὸ τοῦ πατρός μου. [9]καὶ
ὅτε ἐγενόμην ἀνήρ, ἔλαβον Ανναν γυναῖκα ἐκ τοῦ σπέρματος τῆς
10 πατριᾶς ἡμῶν καὶ ἐγέννησα ἐξ αὐτῆς Τωβιαν. [10]καὶ ὅτε ᾐχμαλωτί-
σθην εἰς Νινευη, πάντες οἱ ἀδελφοί μου καὶ οἱ ἐκ τοῦ γένους μου
11 ἤσθιον ἐκ τῶν ἄρτων τῶν ἐθνῶν· [11]ἐγὼ δὲ συνετήρησα τὴν ψυ-
12 χήν μου μὴ φαγεῖν, [12]καθότι ἐμεμνήμην τοῦ θεοῦ ἐν ὅλῃ τῇ ψυχῇ
13 μου. [13]καὶ ἔδωκεν ὁ ὕψιστος χάριν καὶ μορφὴν ἐνώπιον Ενεμεσ-
14 σαρου, καὶ ἤμην αὐτοῦ ἀγοραστής· [14]καὶ ἐπορευόμην εἰς τὴν Μη-
δίαν καὶ παρεθέμην Γαβαήλῳ τῷ ἀδελφῷ Γαβρια ἐν Ραγοις τῆς
Μηδίας ἀργυρίου τάλαντα δέκα.
15 [15]Καὶ ὅτε ἀπέθανεν Ενεμεσσαρος, ἐβασίλευσεν Σενναχηριμ ὁ υἱὸς
αὐτοῦ ἀντ᾽ αὐτοῦ, καὶ αἱ ὁδοὶ αὐτοῦ ἠκαταστάτησαν, καὶ οὐκέτι

8 δεμβωρα A† || 10 ηχμαλωτισθημεν B† | μου ult. > B† || 14 και $1^{0}$ > B† || 15 ενεμεσσαρος] ος > B | σενναχηρ(ε)ιμ] αχηρειλ B† (post -σεν): cf. 18 | ηκαταστατησαν B] ηκατεστατησαν compl., ηκατεστησαν compl., κατεστησαν A†

---

8 καὶ ἐδαπάνων αὐτὰ ἐν Ιερουσαλημ καθ᾽ ἕκαστον ἐνιαυτόν. [8]καὶ S
ἐδίδουν αὐτὰ τοῖς ὀρφανοῖς καὶ ταῖς χήραις καὶ προσηλύτοις
τοῖς προσκειμένοις τοῖς υἱοῖς Ισραηλ εἰσέφερον καὶ ἐδίδουν αὐ-
τοῖς ἐν τῷ τρίτῳ ἔτει καὶ ἠσθίομεν αὐτὰ κατὰ τὸ πρόσταγμα τὸ
προστεταγμένον περὶ αὐτῶν ἐν τῷ νόμῳ Μωσῆ καὶ κατὰ τὰς ἐν-
τολάς, ἃς ἐνετείλατο Δεββωρα ἡ μήτηρ Ανανιηλ τοῦ πατρὸς ἡμῶν,
9 ὅτι ὀρφανὸν κατέλιπέν με ὁ πατὴρ καὶ ἀπέθανεν. [9]καὶ ὅτε ἐγενή-
θην ἀνήρ, ἔλαβον γυναῖκα ἐκ τοῦ σπέρματος τῆς πατριᾶς ἡμῶν
καὶ ἐγέννησα ἐξ αὐτῆς υἱὸν καὶ ἐκάλεσα τὸ ὄνομα αὐτοῦ Τωβιαν.
10 [10]μετὰ τὸ αἰχμαλωτισθῆναί με εἰς Ἀσσυρίους καὶ ὅτε ᾐχμαλωτίσθην,
εἰς Νινευη ἐπορευόμην· καὶ πάντες οἱ ἀδελφοί μου καὶ οἱ ἐκ τοῦ
11 γένους μου ἤσθιον ἐκ τῶν ἄρτων τῶν ἐθνῶν, [11]ἐγὼ δὲ συνετή-
12 ρησα τὴν ψυχήν μου μὴ φαγεῖν ἐκ τῶν ἄρτων τῶν ἐθνῶν. [12]καὶ
13 ὅτε ἐμεμνήμην τοῦ θεοῦ μου ἐν ὅλῃ ψυχῇ μου, [13]καὶ ἔδωκέν μοι
ὁ ὕψιστος χάριν καὶ μορφὴν ἐνώπιον Ενεμεσσαρου, καὶ ἠγόραζον
14 αὐτῷ πάντα τὰ πρὸς τὴν χρῆσιν· [14]καὶ ἐπορευόμην εἰς Μηδίαν
καὶ ἠγόραζον αὐτῷ ἐκεῖθεν ἕως αὐτὸν ἀποθανεῖν. καὶ παρεθέμην
Γαβαήλῳ βαλλάντια τῷ ἀδελφῷ τῷ Γαβρι ἐν τῇ χώρᾳ τῆς Μηδίας,
ἀργυρίου τάλαντα δέκα.
15 [15]Καὶ ὅτε ἀπέθανεν Ενεμασσαρ καὶ ἐβασίλευσεν Σενναχηριμ υἱὸς
αὐτοῦ ἀντ᾽ αὐτοῦ, καὶ αἱ ὁδοὶ τῆς Μηδίας ἀπέστησαν, καὶ οὐκέτι

10 με > S* || 14 γαβαηλω] α $2^{0}$ > S* hic, non in 4 1. 20 5 6 9 2. 5